# 0345-0407 - Iohannes Chrysostomus - In Lazarum ii

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2062 335 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In Lazarum ii

[00001] Εἰς τὸν τετραήμερον Λάζαρον.

[00002] β΄.

62.775

[00003] Ἀγαπητοὶ, ὥσπερ μήτηρ φιλότεκνος ἐπιδοῦσα τὴν θηλὴν τῷ νηπίῳ τέρπεται, τοῦ παιδὸς ἐφέλκοντος τὴν ἁπαλὴν τροφὴν τοῦ γάλακτος·

[00004] ἐπειδὰν δὲ ὁ θρόμβος τοῦ γάλακτος τυρωθεὶς ἐμφράξῃ τοὺς ὀχετοὺς τοῦ μαζοῦ, τότε δὴ καὶ τὸ παιδίον κλαυθμυρίζει, καὶ ἡ μήτηρ ὀδυνᾶται, τὴν μὲν προαίρεσιν τοῦ τρέφειν ἡπλωμένην ἔχουσα, τὴν δὲ τροφὴν μὴ ἐπιδιδομένην ὁρῶσα·

[00005] ὡσαύτως καὶ ἡμεῖς τῇ προτεραίᾳ τὴν θηλὴν τῆς διανοίας ὑμῖν ὑποβαλόντες, ἐτερπόμεθα, ὑμῶν ἐφελκόντων τὸ γάλα τοῦ λόγου·

[00006] ὅτε δὲ τὸ τῆς λήθης νέφος ὑπέδραμον τῇ διανοίᾳ, τὸν λόγον ἀνέκοψε, τότε δὴ καὶ ὑμεῖς ἠγανακτήσατε ὡς ἀποστερούμενοι τῶν εὐαγγελικῶν διδαγμάτων τὰ νοήματα, καὶ ἡμεῖς ἐδυσφοροῦμεν, τὴν μὲν προθυμίαν τοῦ λέγειν ἐκτεταμένην ἔχοντες, τὸν δὲ νοῦν κωλυόμενον ὑπὸ τῆς λήθης ὁρῶντες.

[00007] Ἀλλ' ἴσως τοῦτο συμβέβηκεν ἡμῖν, ἵνα γνῶμεν, ὅτι Οὔτε τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, οὐδὲ τοῦ διώκοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.

[00008] Δεῦρο τοιγαροῦν, ἐπειδήπερ Θεὸς δίδωσι τοῖς λέγουσι χάριν, οὐ διὰ τὴν ἀξίαν τῶν λεγόντων, ἀλλὰ διὰ τὴν χρείαν τῶν ἀκουόντων, αὐτὸν παρακαλέσαντες, ἀπὸ τῶν ἀρτίως ὑμῖν ὑπαναγνωσθέντων εὐαγγελικῶν ἀναγνωσμάτων κατὰ δύναμιν τὸ πότιμον τῆς διδασκαλίας ἀρυσώμεθα νᾶμα.

[00009] Ἦν τις ἀσθενῶν, φησὶ, Λάζαρος ἀπὸ Βηθανίας ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς.

[00010] Ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει.

[00011] Εἶπε δὲ ὁ Ἰησοῦς·

[00012] Οὐκ ἔστιν ἡ ἀσθένεια αὕτη πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ Θεὸς δι' αὐτῆς.

[00013] Ἀνθυποφέρων λέγω, ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ·

[00014] οὐκ ἔστιν ἀσθένεια, ἀλλ' εὐαγγέλια, οὐκ ἔστιν ἀσθένεια, ἀλλ' ἀσφάλεια.

[00015] Ὦ ἀσθένεια ἀῤῥωστούντων ἰατρὲ, πίστεως ὁδηγὲ, θανάτου ἀντίπαλε, διαβόλου ἀντίδικε, σωτηρίας ἀρχηγέ! ὦ ἀσθένεια, ἀρετῆς θεμέλιε ἀῤῥηκτε, πίστεως διδάσκαλε, εὐσεβείας οἰκονόμε! ὦ [62.776.40] ἀσθένεια πυρετοὺς ψυχῶν ἀποσοβοῦσα, καὶ ἱδρῶτας βαπτίσματος δροσίζουσα, καὶ λαμπρὰς στολὰς ψυχῆς ἐξυφαίνουσα! ὦ ἀσθένεια, οὐρανίου ἄρτου πάροχε, πίστεως λαμπαδοῦχε ἄριστε, διαβόλου παγὶς καὶ ἀνθρώπου σφραγίς! Ὅτε δὲ ἤκουσε, φησὶν, ὁ Ἰησοῦς, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας.

[00016] Τί δὲ τὸ ἀναγκαῖον τοῦ ἐπιμεῖναι τὸν Κύριον ἀκούσαντα, καὶ μὴ εὐθὺς ἀπελθεῖν πρὸς τὸν ἀσθενοῦντα;

[00017] Ἀλλὰ πάντως ἐξεδέχετο τὸν θάνατον τοῦ Λαζάρου, ὅπως ἐν τῷ θανάτῳ μείζονα τῶν θαυματουργημάτων τὴν πίστιν τοῖς ὁρῶσιν ἐνδείξηται.

[00018] Μετὰ ταῦτα οὖν λέγει τοῖς μαθηταῖς ὁ Ἰησοῦς·

[00019] Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται·

[00020] ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν.

[00021] Ἀληθῶς γὰρ ὁ τῶν ἀνθρώπων θάνατος ὕπνος παρὰ τῷ Κυρίῳ λελόγισται.

[00022] Πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν.

[00023] Τί γάρ;

[00024] καὶ ἐνταῦθα ὢν ἀδυνατεῖς ζωοποιῆσαι τὸν νεκρόν;

[00025] Ἀλλ' οὐχ οὕτω δέχονται τὴν χάριν οἱ Ἰουδαῖοι ἐμοῦ ἀπόντος·

[00026] ἴσως γὰρ ἀναστάντος αὐτοῦ νομίσουσιν ἐκ συντυχίας τινὸς ἀναβιῶσαι τὸν Λάζαρον.

[00027] Αὐτὸς οὖν ἐγὼ παραγίνομαι, ὅπως παρόντος μου αὐτόπται γενόμενοι τῶν παρ' ἐμοῦ γενομένων θαυματουργημάτων, καὶ τὴν χάριν παρ' ἐμοῦ δεξάμενοι, εἰς πίστιν βεβαίαν ἐνεχθῶσι.

[00028] Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται·

[00029] ἀλλὰ πορεύομαι ἐξυπνίσαι αὐτόν.

[00030] Οἱ δὲ μαθηταὶ ἀκούσαντες, εἶπον·

[00031] Κύριε, εἰ κεκοίμηται, σωθήσεται.

[00032] Οὐ τοσοῦτον δὲ θεοσεβῶς ἀπεκρίναντο, ὅσον ἰατρικῶς.

[00033] Ὕπνος γὰρ ληθαργικοὺς μὲν βλάπτει ἐπεκτεινόμενος, πυρετοὺς δὲ λύει μᾶλλον ἱδρώτων.

[00034] Ἐπειδὴ τοίνυν ἔδοξαν οἱ μαθηταὶ λέγειν τὸν Κύριον περὶ τῆς

[00035] Επιτρέπετα

[00036] κοιμήσεως τοῦ ὕπνου, εἶπε μετὰ παῤῥησίας·

[00037] Λάζαρος ὁ φίλος ἡμῶν ἀπέθανε·

[00038] καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ·

[00039] ἀλλὰ ἄγωμεν πρὸς αὐτόν.

[00040] Ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, χαίρει νῦν ἐπὶ θανάτῳ φίλου·

[00041] Χαίρω, οὐ δι' ἐμαυτὸν, οὐδὲ διὰ τὸν τεθνεῶτα, ἀλλὰ δι' ὑμᾶς·

[00042] κέχρημαι γὰρ τῷ θανάτῳ πρὸς τὸν τῆς ὑμετέρας πίστεως θεμέλιον.

[00043] Ὦ θάνατος Χριστοῦ ἀγαλλίασις! [62.777] ὢ θάνατος, ζωῆς ἀνάπλεως! ὢ θάνατος θανάτου λυτήριον, σωτηρίας ἀρχηγὸς, πεπτωκότων ἀνάστασις, καμνόντων ἀνάπαυσις, ἀσθενούντων ῥῶσις, δικαίων ἀνάψυξις! ὢ θάνατος, διαβόλου κατάλυσις, δαιμόνων καθαίρεσις, τοῦ πρωτοπλάστου Ἀδὰμ ἀνανέωσις! ὦ θάνατε, εὐφροσύνης συνεργὲ, ἀφθαρσίας μηνυτὰ, χαρᾶς χορευτά! Ἵνα δὲ ἐπιτεμὼν τῷ λόγῳ εἴπω, ἔρχεται Ἰησοῦς εἰς τὴν Βηθανίαν, ἀπήντησαν αὐτῷ αἱ ἀδελφαὶ Λαζάρου, προσπίπτουσι τοῖς γόνασι τοῦ Κυρίου κλαίουσαι καὶ λέγουσαι·

[00044] Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός.

[00045] Ἆρα γὰρ οὐκ ἦν ἐκεῖ;

[00046] Ἀλλὰ τῷ μὲν σώματι οὐκ ἦν ἐκεῖ, τῇ δὲ θεότητι οὐ μόνον ἐκεῖ, ἀλλὰ καὶ ἐν οὐρανοῖς.

[00047] Πῶς γὰρ ἐγίνωσκε τὸ πότε ἀπέθανεν ὁ Λάζαρος, εἰ μὴ παρὼν ἦν κατὰ τὴν ἀόρατον δύναμιν τῆς θεότητος;

[00048] Καὶ ἔλεγον·

[00049] Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός.

[00050] Εἶπε δὲ πρὸς αὐτὰς ὁ Κύριος·

[00051] Πιστεύσατε, καὶ ὄψεσθε τὴν δόξαν τοῦ Θεοῦ·

[00052] διδάσκων ὅτι τῶν ἔργων τῶν ἀγαθῶν ἡ πίστις ἐστὶν ἀρχηγός.

[00053] Καὶ θεωρήσας αὐτὰς κλαιούσας, καὶ τοὺς παρόντας Ἰουδαίους, Ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν, καὶ εἶπε·

[00054] Ποῦ τεθείκατε αὐτόν;

[00055] Τί ἐστι τὸ, Ἐνεβριμήσατο τῷ πνεύματι;

[00056] Ἔκδεξαι, ἀγαπητὲ, καὶ μετ' ὀλίγον εὑρήσεις τοῦ ζητουμένου τὴν λύσιν.

[00057] Ἐτάραξεν ἑαυτὸν, οὐχ ὡς ἡμεῖς ὑπὸ δειλίας ἢ λύπης ταρασσόμεθα, ἀλλ' αὐτὸς ἑαυτὸν ἐτάραξε, καὶ λέγει·

[00058] Ποῦ τεθείκατε αὐτόν;

[00059] Ἆρα γὰρ ἠγνόει ποῦ τέθαπται, ὁ ἐγνωκὼς πότε τετελεύτηκεν;

[00060] Ἀλλὰ μιγνύει τὰ ἀνθρώπινα ῥήματα τοῖς θείοις θαυματουργήμασιν, ἵνα δείξῃ.

[00061] ὅτι καὶ ἄνθρωπος ἦν, καθὰ καὶ ὁ προφήτης λέγει·

[00062] Καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν;

[00063] Τοῦτο δὲ προέταξεν ἵνα σημαίνῃ, ὅτι καὶ ἄλλο τί ἐστιν, ὅπερ ἐστὶ Θεός.

[00064] Ποῦ τεθείκατε αὐτόν;

[00065] Ἡ δὲ Μαρία, Ἔρχου, φησὶ, καὶ ἴδε, Κύριε.

[00066] Καὶ ἐδάκρυσεν ὁ Ἰησοῦς.

[00067] Τίς δὲ χρεία δακρύειν, ὃν ἔμελλεν ἀνιστᾷν μετ' ὀλίγον;

[00068] Ἀλλ' ἐδάκρυσεν ὁ Ἰησοῦς, ἵνα τὸ συμπαθὲς καὶ τὸ φιλάνθρωπον περὶ τοὺς ὁμοφύλους ἡμῖν ὑποδείξῃ·

[00069] ἐδάκρυσεν ὁ Ἰησοῦς, ἵνα τὸ κλαίειν μετὰ κλαιόντων ἔργῳ μᾶλλον ἢ λόγῳ διδάξῃ·

[00070] ἐδάκρυσεν ὁ Ἰησοῦς·

[00071] ἐδάκρυσεν, οὐκ ἐπένθησε, τὸ μὲν ἀδάκρυτον παντελῶς ὡς ἀπηνὲς καὶ ἀπάνθρωπον παραιτούμενος, τὸ δὲ φιλοπενθὲς ὡς ἀγεννὲς καὶ ἄνανδρον διωθούμενος·

[00072] τάξιν δὲ ἐπιτιθεὶς τῇ συμπαθείᾳ, ἐδάκρυσεν.

[00073] Ἔρχεται ἐπὶ τὸ σπήλαιον, καὶ θεωρεῖ λίθον ἐπικείμενον τῷ μνήματι.

[00074] Κελεύει τοῖς παρεστῶσιν Ἰουδαίοις ἀποκυλῖσαι τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ σπηλαίου.

[00075] Ὁ λέγων·

[00076] Ἐὰν πίστιν ἔχητε [62.778] ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ γενήσεται ὑμῖν·

[00077] πῶς νῦν αὐτὸς ἀδυνατεῖς ἀποκυλῖσαι τὸν λίθον;

[00078] Ἀλλ' οὐχ ὡς ἀδυνάτων τοῦτο ποιῶ, φησὶν, ἀλλ' ἵνα μὴ δόξωσι φαντασίαν εἶναι τὸ γινόμενον, ἐπιτάσσω αὐτοῖς τοῖς Ἰουδαίοις ἰδίαις χερσὶν ἀποκυλῖσαι τὸν λίθον, τὸ μέγιστον σημεῖον ἐμαυτῷ καταλιμπάνων·

[00079] ἵνα αὐτοὶ μάρτυρες γένωνται τῶν ὑπ' ἐμοῦ γενομένων σημείων.

[00080] Εἶτα μετὰ τὸ ἀποκυλῖσαι τὸν λίθον, ἀναβλέψας ὁ Ἰησοῦς εἰς τὸν οὐρανὸν, εἶπεν·

[00081] Εὐχαριστῶ σοι, Πάτερ, ὅτι ἤκουσάς μου.

[00082] Πότε δὲ προσηύξατο;

[00083] Νῦν λάμβανε, ἀγαπητὲ, τὴν πρὸ βραχέος ζητουμένην παρὰ σοῦ λύσιν τοῦ ῥητοῦ·

[00084] ὅτε γὰρ ἐνεβριμήσατο τῷ πνεύματι, τότε προσηύξατο.

[00085] Καὶ ταῦτα εἰπὼν, ἔκραξε φωνῇ μεγάλῃ, λέγων, Λάζαρε, δεῦρο ἔξω.

[00086] Καὶ εὐθέως ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τὰς χεῖρας καὶ τοὺς πόδας κειρίαις.

[00087] Ὢ φωνῆς δύναμις ᾅδην διαῤῥήξασα, πύλας χαλκᾶς συντρίψασα, μοχλοὺς σιδηροῦς συνθλάσασα, διάβολον καταστρώσασα, θάνατον καταργήσασα, νεκρὸν ἀνεγείρασα! ὢ φωνῆς δύναμις, τὰ διεστῶτα μέλη εἰς ἓν συναγαγοῦσα καὶ ἀνορθοῦσα, καὶ τὸ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγοῦσα!

[00088] Επιτρέπετα

[00089] ὢ φωνῆς δύναμις, τὸν τετραήμερον νεκρὸν ὡς ἐξ ὕπνου ἐγείρουσα, καὶ τὸν κειρίαις δεδεμένον ὡς εὔλυτον καὶ ὀξυδρομέα τοῦ τάφου προαγαγοῦσα! Ἐπίστησον, ἀγαπητὲ, τὸν νοῦν σου τῇ φωνῇ, καὶ εὑρήσεις αὐτὸν τὸν λόγον τὸν λέγοντα ἐν τῇ κοσμοποιΐᾳ, Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς·

[00090] Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ἐγένοντο, τὸν αὐτὸν καὶ νῦν λέγοντα·

[00091] Λάζαρε, δεῦρο ἔξω, Καὶ οἱ ἀποῤῥεύσαντες ἰχῶρες τῶν σαρκῶν τὰς κοτύλας πάλιν ἀνεπλήρουν, καὶ αἱ ἀποπεσοῦσαι τρίχες τὴν οἰκείαν τάξιν ἐπεγίνωσκον, καὶ ἐν τοῖς μέλεσι κατεφυτεύοντο.

[00092] Λάζαρε, δεῦρο ἔξω·

[00093] καὶ ὁ νεκρὸς ἀνίστατο, καὶ τεταρταῖος ἴσος ἦν τῷ μήτε τὴν ἀρχὴν τεθνεῶτι.

[00094] Λάζαρε, δεῦρο ἔξω·

[00095] καὶ ἡ ψυχὴ ἐκ τῶν καταχθονίων ἀνάσπαστος ἐγίνετο, μὴ διαβόλου ἀντιλέγοντος, μὴ θανάτου ἀντιπαλαίοντος, καὶ χαίρουσα τὸ ἴδιον οἴκημα ἐπεγίνωσκε.

[00096] Τούτων τῶν θαυματουργημάτων, ἀγαπητὲ, τὸ θεῖον ἔργον θεωρήσας, τὴν ἀνάστασιν μὴ ἀμφίβαλλε·

[00097] γενέσθω σοι ἔσοπτρον ὁ Λάζαρος, καὶ ἐν ἐκείνῳ σεαυτὸν θεωρήσας, τὴν ἀνέγερσιν πίστευε.

[00098] Ἡ αὐτὴ γὰρ φωνὴ πάντας ἡμᾶς ἀναστήσει, ὥς που καὶ ὁ Ἀπόστολος λέγει·

[00099] Σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἀναστήσονται ἄφθαρτοι·

[00100] τῇ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00101] Ἀμήν.

[00102] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In Lazarum ii**
**Litterarum Omnium Conspectus: 117 Litterae, quae repetitae sunt in 6,563 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 502 | Α | 0913 | 1 |
| β | 0946 | 26 | Β | 0914 | 2 |
| γ | 0947 | 107 | Γ | 0915 | 2 |
| δ | 0948 | 134 | Δ | 0916 | 0 |
| ε | 0949 | 370 | Ε | 0917 | 8 |
| ζ | 0950 | 23 | Ζ | 0918 | 0 |
| η | 0951 | 91 | Η | 0919 | 0 |
| θ | 0952 | 119 | Θ | 0920 | 7 |
| ι | 0953 | 245 | Ι | 0921 | 0 |
| κ | 0954 | 166 | Κ | 0922 | 19 |
| λ | 0955 | 178 | Λ | 0923 | 15 |
| μ | 0956 | 169 | Μ | 0924 | 5 |
| ν | 0957 | 568 | Ν | 0925 | 1 |
| ξ | 0958 | 39 | Ξ | 0926 | 0 |
| ο | 0959 | 414 | Ο | 0927 | 4 |
| π | 0960 | 189 | Π | 0928 | 8 |
| ρ | 0961 | 243 | Ρ | 0929 | 0 |
| ς | 0962 | 260 | • | 0930 | 0 |
| σ | 0963 | 235 | Σ | 0931 | 1 |
| τ | 0964 | 521 | Τ | 0932 | 6 |

| | | | | | |
|---|---|---|---|---|---|
| υ | 0965 | 119 | Υ | 0933 | 0 |
| φ | 0966 | 46 | Φ | 0934 | 0 |
| χ | 0967 | 45 | Χ | 0935 | 3 |
| ψ | 0968 | 9 | Ψ | 0936 | 0 |
| ω | 0969 | 102 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 5 | | | 0 |
| ῥ | 8165 | 8 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 94 | έ | 8051 | 77 | ή | 8053 | 37 | ί | 8055 | 121 | ό | 8057 | 69 | ύ | 8059 | 50 | ώ | 8061 | 12 |
| ὰ | 8048 | 45 | ὲ | 8050 | 42 | ὴ | 80852 | 41 | ὶ | 8054 | 77 | ὸ | 8056 | 77 | ὺ | 8058 | 11 | ὼ | 8060 | 6 |
| ᾶ | 8118 | 9 | | | 0 | ῆ | 8134 | 23 | ῖ | 8150 | 40 | | | 0 | ῦ | 8166 | 88 | ῶ | 8182 | 51 |
| ἀ | 7936 | 106 | ἐ | 7952 | 76 | ἠ | 7968 | 3 | ἰ | 7984 | 21 | ὀ | 8000 | 5 | ὐ | 8016 | 57 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 2 | ἑ | 7953 | 3 | ἡ | 7969 | 21 | ἱ | 7985 | 9 | ὁ | 8001 | 30 | ὑ | 8017 | 19 | ὡ | 8033 | 9 |
| ἂ | 7938 | 2 | ἒ | 7954 | 0 | ἢ | 7970 | 2 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 6 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 1 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 9 | ἔ | 7956 | 21 | ἤ | 7972 | 3 | ἴ | 7988 | 7 | ὄ | 8004 | 3 | ὔ | 8020 | 2 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 0 | ἕ | 7957 | 0 | ἥ | 7973 | 0 | ἵ | 7989 | 11 | ὅ | 8005 | 12 | ὕ | 8021 | 6 | ὥ | 8037 | 2 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 8 | ἶ | 7990 | 9 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 4 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 2 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 1 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 2 |
| ᾳ | 8115 | 4 | | | 0 | ῃ | 8131 | 6 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 12 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 10 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 15 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - In Lazarum ii**

**Verborum Omnium Conspectus: 655Verba, quae repetita sunt in 2,310,891 occasionibus**

---

**ἀγαθῶν** [00052]
**ἀγαλλίασις** [00043]
**ἀγαπητὲ** [00056] [00083] [00089] [00096]
**Ἀγαπητοὶ** [00003]
**ἀγεννὲς** [00071]
**ἄγωμεν** [00039]
**ἀδάκρυτον** [00071]
**Ἀδὰμ** [00043]
**ἀδελφαὶ** [00043]
**ἀδελφῆς** [00009]
**ἀδελφὸς** [00010]
**ἀδελφός** [00044] [00049]
**ᾅδην** [00087]
**ἀδυνατεῖς** [00024] [00077]
**ἀδυνάτων** [00078]
**αἱ** [00043] [00091]
**αἰῶνας** [00100]
**αἰώνων** [00100]
**ἀκουόντων** [00008]
**ἀκούσαντα** [00016]
**ἀκούσαντες** [00030]
**ἀλείψασα** [00010]
**Ἀληθῶς** [00021]
**ἀλλ** [00012] [00013] [00014] [00014] [00057] [00078]
**Ἀλλ** [00007] [00025] [00068] [00078]
**ἀλλὰ** [00007] [00008] [00020] [00029] [00039] [00041] [00046]
**Ἀλλὰ** [00017] [00046] [00060]
**ἄλλο** [00063]
**ἁμαρτωλοῦ** [00040]
**Ἀμήν** [00101]
**ἀμφίβαλλε** [00096]
**ἂν** [00044] [00049]
**ἀναβιῶσαι** [00026]
**ἀναβλέψας** [00080]
**ἀναγκαῖον** [00016]
**ἀναγνωσμάτων** [00008]
**ἄνανδρον** [00071]
**ἀνανέωσις** [00043]
**ἀνάπαυσις** [00043]
**ἀνάπλεως** [00043]
**ἀνάσπαστος** [00095]
**ἀναστάντος** [00026]
**ἀνάστασιν** [00096]
**ἀνάστασις** [00043]
**ἀναστήσει** [00098]
**ἀναστήσονται** [00099]
**ἀνάψυξις** [00043]
**ἀνεγείρασα** [00087]
**ἀνέγερσιν** [00097]
**ἀνέκοψε** [00006]
**ἀνεπλήρουν** [00091]
**ἀνθρώπινα** [00060]
**ἄνθρωπός** [00062]
**ἄνθρωπος** [00061]
**ἀνθρώπου** [00015]
**ἀνθρώπων** [00021]
**Ἀνθυποφέρων** [00013]
**ἀνιστᾷν** [00067]
**ἀνίστατο** [00093]
**ἀνορθοῦσα** [00087]
**ἀντίδικε** [00015]
**ἀντιλέγοντος** [00095]
**ἀντιπαλαίοντος** [00095]
**ἀντίπαλε** [00015]
**ἀξίαν** [00008]
**ἀόρατον** [00047]
**ἁπαλὴν** [00003]
**ἀπάνθρωπον** [00071]
**ἀπέθανε** [00037]
**ἀπέθανεν** [00044] [00047] [00049]
**ἀπεκρίναντο** [00032]
**ἀπελθεῖν** [00016]
**ἀπηνὲς** [00071]
**ἀπήντησαν** [00043]
**ἀποκυλῖσαι** [00074] [00077] [00078] [00080]
**ἀπόντος** [00025]
**ἀποπεσοῦσαι** [00091]
**ἀποῤῥεύσαντες** [00091]
**ἀποσοβοῦσα** [00015]
**ἀποστερούμενοι** [00006]
**Ἀπόστολος** [00098]
**Ἆρα** [00045] [00059]
**ἀρετῆς** [00015]
**Ἄρθητι** [00076]
**ἄριστε** [00015]
**ἄῤῥηκτε** [00015]
**ἀῤῥωστούντων** [00015]
**ἀρτίως** [00008]
**ἄρτου** [00015]
**ἀρυσώμεθα** [00008]
**ἀρχηγέ** [00015]
**ἀρχηγὸς** [00043]
**ἀρχηγός** [00052]
**ἀρχὴν** [00093]
**ἀσθένεια** [00012] [00013] [00014] [00014] [00015] [00015] [00015] [00015]
**ἀσθενοῦντα** [00016]
**ἀσθενούντων** [00043]
**ἀσθενῶν** [00009]
**ἀσφάλεια** [00014]
**αὐτὰς** [00050] [00053]
**αὐτὴ** [00098]
**αὕτη** [00012] [00013]
**αὐτῆς** [00009] [00012]
**αὐτοὶ** [00079]
**αὐτοῖς** [00078]

**αὐτὸν** [00008] [00089] [00090]
**αὐτόν** [00020] [00022] [00029] [00039] [00054] [00058] [00062] [00064]
**αὐτόπται** [00027]
**Αὐτὸς** [00027]
**αὐτὸς** [00057] [00077]
**αὐτοῦ** [00026]
**αὐτῷ** [00043]
**ἀφθαρσίας** [00043]
**ἄφθαρτοι** [00099]

**β** [00002]
**βαπτίσματος** [00015]
**βεβαίαν** [00027]
**Βηθανίαν** [00043]
**Βηθανίας** [00009]
**βλάπτει** [00033]
**βλήθητι** [00076]
**βραχέος** [00083]

**γάλα** [00005]
**γάλακτος** [00003] [00004]
**γὰρ** [00021] [00026] [00033] [00042] [00045] [00047] [00059] [00084] [00098] [00099]
**γάρ** [00023]
**γενέσθω** [00097]
**Γενηθήτω** [00089]
**Γενηθήτωσαν** [00090]
**γενήσεται** [00076]
**γενόμενοι** [00027]
**γενομένων** [00027] [00079]
**γένωνται** [00079]
**γινόμενον** [00078]
**γνῶμεν** [00007]
**γνώσεται** [00062]
**γόνασι** [00043]

**δαιμόνων** [00043]
**δακρύειν** [00067]
**δὲ** [00004] [00004] [00006] [00006] [00010] [00011] [00015] [00016] [00030] [00032] [00033] [00043] [00046] [00050] [00063] [00065] [00067] [00071] [00072] [00082]
**δεδεμένον** [00089]
**δεδεμένος** [00086]
**δειλίας** [00057]
**δείξῃ** [00060]
**δεξάμενοι** [00027]
**Δεῦρο** [00008]
**δεῦρο** [00085] [00091] [00092] [00094]
**δέχονται** [00025]
**δὴ** [00004] [00006]
**δι** [00012] [00038] [00041] [00041]
**διὰ** [00008] [00008] [00041]
**διάβολον** [00087]
**διαβόλου** [00015] [00015] [00043] [00095]
**διανοίᾳ** [00006]
**διανοίας** [00005]
**διαῤῥήξασα** [00087]
**διδαγμάτων** [00006]
**διδάξῃ** [00069]
**διδάσκαλε** [00015]
**διδασκαλίας** [00008]
**διδάσκων** [00052]
**δίδωσι** [00008]
**διεστῶτα** [00087]
**δικαίων** [00043]
**διωθούμενος** [00071]
**διώκοντος** [00007]
**δόξα** [00100]
**δόξαν** [00051]
**δοξασθῇ** [00012]
**δόξης** [00012] [00013]
**δόξωσι** [00078]
**δροσίζουσα** [00015]
**δύναμιν** [00008] [00047]
**δύναμις** [00087] [00087] [00089]
**δύο** [00015]

**Ἐὰν** [00076]
**ἑαυτὸν** [00053] [00057] [00057]
**ἐγείρουσα** [00089]
**ἐγένετο** [00089]
**ἐγένοντο** [00090]
**ἐγίνετο** [00095]
**ἐγίνωσκε** [00047]
**ἐγνωκὼς** [00059]
**ἐγὼ** [00027]
**ἐδάκρυσεν** [00066] [00068] [00069] [00070] [00071] [00072]
**ἔδοξαν** [00034]
**ἐδυσφοροῦμεν** [00006]
**εἰ** [00031] [00044] [00047] [00049]
**εἶναι** [00078] [00087]
**Εἶπε** [00011] [00050]
**εἶπε** [00036] [00053]
**εἶπεν** [00080]
**εἶπον** [00030]
**εἴπω** [00043]
**εἰπὼν** [00085]
**Εἰς** [00001]
**εἰς** [00027] [00043] [00076] [00080] [00087] [00087] [00100]
**Εἶτα** [00080]
**ἐκ** [00009] [00026] [00095]
**Ἔκδεξαι** [00056]
**ἐκεῖ** [00038] [00045] [00046] [00046]
**ἐκείνῳ** [00097]
**ἔκραξε** [00085]
**ἐκτεταμένην** [00006]
**ἔλεγον** [00048]
**ἐλεοῦντος** [00007]
**ἐμαυτὸν** [00041]
**ἐμαυτῷ** [00078]
**ἔμεινεν** [00015]

**ἔμελλεν** [00067]
**ἐμοῦ** [00025] [00027] [00027] [00079]
**ἐμφράξῃ** [00004]
**ἐν** [00015] [00017] [00046] [00089] [00090] [00091] [00097]
**ἓν** [00087]
**ἐνδείξηται** [00017]
**ἐνεβριμήσατο** [00084]
**Ἐνεβριμήσατο** [00053] [00055]
**ἐνεχθῶσι** [00027]
**ἐνταῦθα** [00024]
**ἐξ** [00087] [00089]
**ἐξεδέχετο** [00017]
**ἐξῆλθεν** [00086]
**ἐξυπνίσαι** [00029]
**ἐξυπνίσω** [00020] [00022]
**ἐξυφαίνουσα** [00015]
**ἔξω** [00085] [00091] [00092] [00094]
**ἐπεγίνωσκε** [00095]
**ἐπεγίνωσκον** [00091]
**ἐπειδὰν** [00004]
**Ἐπειδὴ** [00034]
**ἐπειδήπερ** [00008]
**ἐπεκτεινόμενος** [00033]
**ἐπένθησε** [00071]
**ἐπὶ** [00040] [00073]
**ἐπιδιδομένην** [00004]
**ἐπιδοῦσα** [00003]
**ἐπικείμενον** [00073]
**ἐπιμεῖναι** [00016]
**Ἐπίστησον** [00089]
**ἐπιτάσσω** [00078]
**ἐπιτεμὼν** [00043]
**ἐπιτιθεὶς** [00072]
**Επιτρέπετα** [00035] [00088] [00102]
**ἔργον** [00096]
**ἔργῳ** [00069]
**ἔργων** [00052]
**ἐρεῖτε** [00076]
**ἔρχεται** [00043]
**Ἔρχεται** [00073]
**Ἔρχου** [00065]
**ἔσοπτρον** [00097]
**ἐστὶ** [00063]
**ἐστι** [00055] [00062]
**ἔστι** [00013]
**ἐστὶν** [00052]
**ἐστιν** [00063]
**ἔστιν** [00012] [00014] [00014]
**ἐτάραξε** [00057]
**ἐτάραξεν** [00053]
**Ἐτάραξεν** [00057]
**ἐτερπόμεθα** [00005]
**εὐαγγέλια** [00014]
**εὐαγγελικῶν** [00006] [00008]
**εὐθέως** [00086]
**εὐθὺς** [00016]
**εὔλυτον** [00089]
**εὑρήσεις** [00056] [00089]
**εὐσεβείας** [00015]
**εὐφροσύνης** [00043]
**Εὐχαριστῶ** [00081]
**ἐφέλκοντος** [00003]
**ἐφελκόντων** [00005]
**ἔχητε** [00076]
**ἔχοντες** [00006]
**ἔχουσα** [00004]

**ζητουμένην** [00083]
**ζητουμένου** [00056]
**ζωῆς** [00043]
**ζωοποιῆσαι** [00024]

**ἡ** [00004] [00010] [00012] [00013] [00052] [00095] [00100]
**ἢ** [00057] [00069]
**Ἡ** [00065] [00098]
**ἠγανακτήσατε** [00006]
**ἠγνόει** [00059]
**ἤκουσάς** [00081]
**ἤκουσε** [00015]
**ἡμᾶς** [00098]
**ἡμεῖς** [00005] [00006] [00057]
**ἡμέρας** [00015]
**ἤμην** [00038]
**ἡμῖν** [00007] [00068]
**ἡμῶν** [00019] [00028] [00037] [00044] [00049] [00100]
**ἦν** [00015] [00045] [00046] [00047] [00061] [00093]
**Ἦν** [00009] [00010]
**ἡπλωμένην** [00004]
**ἧς** [00044] [00049]
**ἦς** [00010]
**ἠσθένει** [00010]

**θάλασσαν** [00076]
**θάνατε** [00043]
**θάνατον** [00012] [00013] [00017] [00040] [00087]
**θάνατος** [00021] [00043] [00043] [00043] [00043]
**θανάτου** [00015] [00043] [00095]
**θανάτῳ** [00017] [00040] [00042]
**θαυματουργήμασιν** [00060]
**θαυματουργημάτων** [00017] [00027] [00096]
**θείοις** [00060]
**θεῖον** [00096]
**θέλοντος** [00007]
**θέλων** [00040]
**θεμέλιε** [00015]
**θεμέλιον** [00042]
**Θεὸς** [00008] [00012]
**Θεός** [00063]
**θεοσεβῶς** [00032]
**θεότητι** [00046]

**θεότητος** [00047]
**Θεοῦ** [00007] [00012] [00013] [00051]
**θεωρεῖ** [00073]
**θεωρήσας** [00053] [00096] [00097]
**θηλὴν** [00003] [00005]
**θρόμβος** [00004]

**ἰατρὲ** [00015]
**ἰατρικῶς** [00032]
**ἴδε** [00065]
**ἰδίαις** [00078]
**ἴδιον** [00095]
**ἱδρῶτας** [00015]
**ἱδρώτων** [00033]
**Ἰησοῦ** [00100]
**Ἰησοῦς** [00011] [00015] [00018] [00043] [00066] [00068] [00069] [00070] [00080]
**ἵνα** [00007] [00012] [00020] [00022] [00038] [00060] [00063] [00068] [00069] [00078] [00079]
**Ἵνα** [00043]
**Ἰουδαῖοι** [00025]
**Ἰουδαίοις** [00074] [00078]
**Ἰουδαίους** [00053]
**ἴσος** [00093]
**ἴσως** [00007] [00026]
**ἰχῶρες** [00091]

**καθὰ** [00061]
**καθαίρεσις** [00043]
**καμνόντων** [00043]
**καταλιμπάνων** [00078]
**κατάλυσις** [00043]
**καταργήσασα** [00087]
**καταστρώσασα** [00087]
**καταχθονίων** [00095]
**κατεφυτεύοντο** [00091]
**κειρίαις** [00086] [00089]
**κεκοίμηται** [00019] [00028] [00031]
**Κελεύει** [00074]
**κέχρημαι** [00042]
**κλαίειν** [00069]
**κλαιόντων** [00069]
**κλαίουσαι** [00043]
**κλαιούσας** [00053]
**κλαυθμυρίζει** [00004]
**κοιμήσεως** [00036]
**κόκκον** [00076]
**κοσμοποιΐᾳ** [00089]
**κοτύλας** [00091]
**Κύριε** [00031] [00044] [00049] [00065]
**Κύριον** [00010] [00016] [00034]
**Κύριος** [00050]
**Κυρίου** [00043] [00100]
**Κυρίῳ** [00021]
**κωλυόμενον** [00006]
**κώμης** [00009]

**Λάζαρε** [00085] [00091] [00092] [00094]
**Λάζαρον** [00001] [00026]
**Λάζαρος** [00009] [00010] [00019] [00028] [00037] [00047] [00097]
**Λαζάρου** [00017] [00043]
**λάμβανε** [00083]
**λαμπαδοῦχε** [00015]
**λαμπρὰς** [00015]
**λέγει** [00018] [00057] [00061] [00098]
**λέγειν** [00006] [00034]
**λέγοντα** [00089] [00090]
**λεγόντων** [00008]
**λέγουσαι** [00043]
**λέγουσι** [00008]
**λέγω** [00013]
**λέγων** [00075] [00085]
**λελόγισται** [00021]
**ληθαργικοὺς** [00033]
**λήθης** [00006] [00006]
**λίθον** [00073] [00074] [00077] [00078] [00080]
**λόγον** [00006] [00089]
**λόγου** [00005]
**λόγῳ** [00043] [00069]
**λύει** [00033]
**λύπης** [00057]
**λύσιν** [00056] [00083]
**λυτήριον** [00043]

**μαζοῦ** [00004]
**μαθηταὶ** [00030] [00034]
**μαθηταῖς** [00018]
**μᾶλλον** [00033] [00069]
**Μάρθας** [00009]
**Μαρία** [00010] [00065]
**Μαρίας** [00009]
**μάρτυρες** [00079]
**μεγάλῃ** [00085]
**μέγιστον** [00078]
**μείζονα** [00017]
**μέλεσι** [00091]
**μέλη** [00087]
**μὲν** [00004] [00006] [00015] [00033] [00046] [00071]
**μετ** [00056] [00067]
**μηνυτὰ** [00043]
**μήτε** [00093]
**μήτηρ** [00003] [00004]
**μιγνύει** [00060]
**μνήματι** [00073]
**μόνον** [00046]
**μου** [00027] [00081]
**μοχλοὺς** [00087]
**μύρῳ** [00010]

**νᾶμα** [00008]
**νεκροὶ** [00099]
**νεκρὸν** [00087] [00089]
**νεκρόν** [00024]
**νεκρὸς** [00093]
**νέφος** [00006]
**νηπίῳ** [00003]
**νοήματα** [00006]
**νομίσουσιν** [00026]
**νοῦν** [00006] [00089]
**Νῦν** [00083]
**νῦν** [00040] [00077] [00090]

**ὁ** [00004] [00010] [00011] [00012] [00015] [00018] [00019] [00021] [00028] [00037] [00044] [00047] [00049] [00050] [00059] [00061] [00066] [00068] [00069] [00070] [00080] [00086] [00093] [00097] [00098]
**Ὁ** [00040] [00075]
**ὁδηγὲ** [00015]
**ὀδυνᾶται** [00004]
**Οἱ** [00030]
**οἱ** [00025] [00034] [00091] [00099]
**οἰκείαν** [00091]
**οἴκημα** [00095]
**οἰκονόμε** [00015]
**ὀλίγον** [00056] [00067]
**ὁμοφύλους** [00068]
**ὂν** [00067]
**ὄντων** [00087]
**ὀξυδρομέα** [00089]
**ὅπερ** [00063]
**ὅπως** [00017] [00027]
**ὄρει** [00076]
**ὁρῶντες** [00006]
**ὁρῶσα** [00004]
**ὁρῶσιν** [00017]
**ὅσον** [00032]
**ὅτε** [00006] [00084]
**Ὅτε** [00015]
**ὅτι** [00007] [00038] [00052] [00061] [00063] [00081]
**Οὐ** [00032]
**οὐ** [00008] [00041] [00046]
**οὐδὲ** [00007] [00007] [00041]
**Οὐκ** [00012]
**οὐκ** [00013] [00014] [00014] [00038] [00044] [00045] [00046] [00049] [00071] [00087]
**οὖν** [00018] [00027]
**οὐρανίου** [00015]
**οὐρανοῖς** [00046]
**οὐρανὸν** [00080]
**οὐρανοῦ** [00090]
**Οὔτε** [00007]
**οὕτω** [00025]
**οὐχ** [00025] [00057] [00078]
**ὀχετοὺς** [00004]
**ὄψεσθε** [00051]

**παγὶς** [00015]
**παιδίον** [00004]
**παιδὸς** [00003]
**πάλιν** [00091]
**πάντας** [00098]
**παντελῶς** [00071]
**πάντως** [00017]
**παρ** [00027] [00027]
**παρὰ** [00021] [00083]
**παραγαγοῦσα** [00087]
**παραγίνομαι** [00027]
**παραιτούμενος** [00071]
**παρακαλέσαντες** [00008]
**παρεστῶσιν** [00074]
**παρόντας** [00053]
**παρόντος** [00027]
**πάροχε** [00015]
**παῤῥησίας** [00036]
**παρὼν** [00047]
**Πάτερ** [00081]
**πεπτωκότων** [00043]
**περὶ** [00034] [00068]
**πίστευε** [00097]
**Πιστεύσατε** [00051]
**πιστεύσητε** [00038]
**πίστεως** [00015] [00015] [00015] [00042]
**πίστιν** [00017] [00027] [00076]
**πίστις** [00052]
**πνεύματι** [00053] [00055] [00084]
**πόδας** [00086]
**ποιῶ** [00078]
**Πορεύομαι** [00022]
**πορεύομαι** [00020] [00029]
**Πότε** [00082]
**πότε** [00047] [00059]
**πότιμον** [00008]
**Ποῦ** [00054] [00058] [00064]
**ποῦ** [00059]
**που** [00098]
**πρὸ** [00083]
**προαγαγοῦσα** [00089]
**προαίρεσιν** [00004]
**προέταξεν** [00063]
**προθυμίαν** [00006]
**πρὸς** [00012] [00013] [00016] [00039] [00042] [00050]
**προσηύξατο** [00082] [00084]
**προσπίπτουσι** [00043]
**προτεραίᾳ** [00005]
**προφήτης** [00061]
**πρωτοπλάστου** [00043]
**πύλας** [00087]
**πυρετοὺς** [00015] [00033]
**Πῶς** [00047]
**πῶς** [00077]

**ῥήματα** [00060]

**ῥητοῦ** [00083]
**ῥῶσις** [00043]

**Σαλπίσει** [00099]
**σαρκῶν** [00091]
**σεαυτὸν** [00097]
**σημαίνη** [00063]
**σημεῖον** [00078]
**σημείων** [00079]
**σιδηροῦς** [00087]
**σινάπεως** [00076]
**σοι** [00081] [00097]
**σοῦ** [00083]
**σου** [00089]
**σπήλαιον** [00073]
**σπηλαίου** [00074]
**στερεώματι** [00090]
**στολὰς** [00015]
**στόματος** [00074]
**συμβέβηκεν** [00007]
**συμπαθείᾳ** [00072]
**συμπαθὲς** [00068]
**συναγαγοῦσα** [00087]
**συνεργὲ** [00043]
**συνθλάσασα** [00087]
**συντρίψασα** [00087]
**συντυχίας** [00026]
**σφραγίς** [00015]
**σωθήσεται** [00031]
**σώματι** [00046]
**σωτηρίας** [00015] [00043]

**τὰ** [00006] [00060] [00087]
**τάξιν** [00072] [00091]
**ταρασσόμεθα** [00057]
**τὰς** [00086] [00091]
**ταῦτα** [00018] [00085]
**τάφου** [00089]
**τέθαπται** [00059]
**τεθείκατε** [00054] [00058] [00064]
**τεθνεῶτα** [00041]
**τεθνεῶτι** [00093]
**τεθνηκὼς** [00086]
**τέρπεται** [00003]
**τεταρταῖος** [00093]
**τετελεύτηκεν** [00059]
**τετραήμερον** [00001] [00089]
**τῇ** [00005] [00006] [00046] [00072] [00089] [00089] [00100]
**τὴν** [00003] [00003] [00004] [00004] [00005] [00006] [00008] [00008] [00017] [00025] [00027] [00043] [00047] [00051] [00056] [00076] [00083] [00091] [00093] [00096] [00097]
**τῆς** [00005] [00006] [00006] [00008] [00009] [00009] [00012] [00013] [00034] [00042] [00047]
**Τί** [00016] [00023] [00055]
**τί** [00063]
**τινὸς** [00026]
**Τίς** [00067]
**τίς** [00062]
**τις** [00009]
**τὸ** [00004] [00005] [00006] [00008] [00016] [00047] [00055] [00068] [00068] [00069] [00071] [00071] [00073] [00078] [00078] [00080] [00087] [00087] [00095] [00096]
**τοιγαροῦν** [00008]
**τοίνυν** [00034]
**τοῖς** [00008] [00017] [00018] [00043] [00060] [00074] [00078] [00091]
**τὸν** [00001] [00006] [00006] [00010] [00016] [00016] [00017] [00024] [00026] [00034] [00040] [00041] [00042] [00074] [00077] [00078] [00080] [00080] [00089] [00089] [00089] [00089] [00089] [00090]
**τόπῳ** [00015]
**τοσοῦτον** [00032]
**τότε** [00004] [00006] [00015] [00084]
**τοῦ** [00003] [00003] [00004] [00004] [00004] [00005] [00006] [00007] [00007] [00007] [00007] [00012] [00013] [00016] [00017] [00036] [00040] [00043] [00043] [00051] [00056] [00074] [00074] [00083] [00089] [00090] [00100]
**τοὺς** [00004] [00053] [00068] [00086] [00100]
**Τοῦτο** [00063]
**τοῦτο** [00007] [00078]
**τούτῳ** [00076]
**Τούτων** [00096]
**τρέφειν** [00004]
**τρέχοντος** [00007]
**τρίχες** [00091]
**τροφὴν** [00003] [00004]
**τυρωθεὶς** [00004]
**τῷ** [00003] [00017] [00021] [00042] [00043] [00046] [00053] [00055] [00073] [00076] [00084] [00090] [00093]
**τῶν** [00006] [00008] [00008] [00008] [00017] [00021] [00027] [00052] [00052] [00079] [00091] [00095] [00096] [00100]

**ὑμᾶς** [00038] [00041]
**ὑμεῖς** [00006]
**ὑμετέρας** [00042]
**ὑμῖν** [00005] [00008] [00076]
**ὑμῶν** [00005]
**ὑπ** [00079]
**ὑπαναγνωσθέντων** [00008]
**ὑπέδραμον** [00006]
**ὑπὲρ** [00012] [00013]
**ὕπνος** [00021]
**Ὕπνος** [00033]
**ὕπνου** [00036] [00089]
**ὑπὸ** [00006] [00057]
**ὑποβαλόντες** [00005]
**ὑποδείξῃ** [00068]

**φαντασίαν** [00078]
**φησὶ** [00009] [00065]
**φησὶν** [00015] [00078]
**φιλάνθρωπον** [00068]
**φιλοπενθὲς** [00071]
**φίλος** [00019] [00028] [00037]
**φιλότεκνος** [00003]
**φίλου** [00040]
**φωνὴ** [00098]
**φωνῇ** [00085] [00089]
**φωνῆς** [00087] [00087] [00089]
**φῶς** [00089] [00089]
**φωστῆρες** [00090]

**χαίρει** [00040]
**χαίρουσα** [00095]
**Χαίρω** [00041]
**χαίρω** [00038]
**χαλκᾶς** [00087]
**χαρᾶς** [00043]
**χάριν** [00008] [00025] [00027]
**χάριτι** [00100]
**χεῖρας** [00086]
**χερσὶν** [00078]
**χορευτά** [00043]
**χρεία** [00067]
**χρείαν** [00008]
**Χριστοῦ** [00043] [00100]

**ψυχὴ** [00095]
**ψυχῆς** [00015]
**ψυχῶν** [00015]

**ὢ** [00043] [00043] [00043] [00087] [00089]
**ὤ** [00015] [00015] [00015] [00043]
**Ὢ** [00043] [00087]
**Ὦ** [00015]
**ᾧ** [00015] [00100]
**ὧδε** [00044] [00049]
**ὢν** [00024]
**ὡς** [00006] [00057] [00071] [00071] [00076] [00078] [00089] [00089]
**ὥς** [00098]
**ὡσαύτως** [00005]
**ὥσπερ** [00003]